# Akúsiláos

Testimonia DK 9 A

**A 1** = Diogenés Laertios, Vitae philosophorum I, 41-42

ἔνιοι προστιθέασιν Ἀκουσίλαον Κάβα ἢ Σκάβρα Ἀργεῖον. (42) Ἕρμιππος δ᾽ ἐν τῶι Περὶ τῶν σοφῶν (fr. 8; FHG III, 37) ἑπτακαίδεκά φησιν, ὧν τοὺς ἑπτὰ ἄλλους ἄλλως αἱρεῖσθαι· εἶναι δὲ Σόλωνα, Θαλῆν, Πιττακόν, Βίαντα, Χίλωνα, (Μύσωνα), Κλεόβουλον, Περίανδρον, Ἀνάχαρσιν, Ἀκουσίλαον, Ἐπιμενίδην, Λεώφαντον, Φερεκύδην (7 A 2a) Ἀριστόδημον, Πυθαγόραν, Λᾶσον Χαρμαντίδου ἢ Σισυμβρίνου, ἢ ὡς Ἀριστόξενος Χαβρίνου, Ἑρμιονέα, Ἀναξαγόραν.

**A 2** = Suidás, Lexicon s.v. Ἀκουσίλαος

Ἀκουσίλαος· Κάβα υἱὸς Ἀργεῖος, ἀπὸ Κερκάδος πόλεως οὔσης Αὐλίδος πλησίον, ἱστορικὸς πρεσβύτατος. ἔγραψε δὲ Γενεαλογίας ἐκ δέλτων χαλκῶν, ἃς λόγος εὑρεῖν τὸν πατέρα αὐτοῦ ὀρύξαντά τινα τόπον τῆς οἰκίας αὐτοῦ.

**A 3** = Suidás, Lexicon s.v. Ἑκαταῖος

Ἑκαταῖος (...) πρῶτος δὲ ἱστορίαν πεζῶς ἐξήνεγκε, συγγραφὴν δὲ Φερεκύδης· τὰ γὰρ Ἀκουσιλάου νοθεύεται.

**A 4** = Kléméns Alexandrijský, Stromata VI, 26

τὰ δὲ Ἡσιόδου μετήλλαξαν εἰς πεζὸν λόγον καὶ ὡς ἴδια ἐξήνεγκαν Εὔμηλός (FHG II, 20) τε καὶ Ἀκουσίλαος οἱ ἱστοριογράφοι.

**A 5** = Suidás, Lexicon s.v. Σαβῖνος

Σαβῖνος, σοφιστὴς γεγονὼς ἐπὶ Ἀδριανοῦ Καίσαρος· ἔγραψεν (...). Εἰς Θουκυδίδην καὶ Ἀκουσίλαον καὶ ἄλλους ὑπομνήματα καὶ ἕτερά τινα ἐξηγητικά.